§. ξά. Ἡ αἰδὼς, τῆς αἰδόος, ȣς. τῇ αἰδόϊ, οῖ. τὴν αἰδόα, ῶ. ὦ αἰδοῖ. Τὰ αἰδὼ, ταῖν αἰδοῖν, ὦ αἰδώ. Αἱ αἰδοὶ, τῶν αἰδῶν, ταῖς αἰδοῖς, τὰς αἰδȣ̃ς, ὦ αἰδοί. ✲. ὁμοίως ϗ ἡ Ἠώς.

Πέμπτη τῶν Συνῃρημένων.

§. ξβ΄. Πέμπτη Κλίσις τῶν συνῃρημένων ἐςὶν, ȣδετέρων Ὀνομάτων, εἰς ας, ϗ εἰς ρας λῃγόντων. ὧν ἡ Γενικὴ εἰς ατος κοινῶς, ϗ εἰς ως ἀττικῶς γίνεται.

§. ξγ΄. Τὸ κρέας, τȣ̃ κρέατος κοινῶς ϗ κρέαος, ως, ἀττικῶς. τῷ κρέατι, ϗ κρέαϊ, ᾳ. τὸ κρέας, ὦ κρέας, Τὼ κρέατε, ϗ κρέαε, α. τοῖν κρεάτοιν, ϗ κρεάοιν, ῷν. ὦ κρέατε, ϗ κρέαε, α. Τὰ κρέατα, ϗ κρέαα, α. τῶν κρεάτων, ϗ κρεάων, ῶν. τοῖς κρέασι, τὰ κρέατα, ϗ κρέαα, α. ὦ κρέατα, ϗ κρέαα, α.

§. δ΄. Τὸ κέρας, τȣ̃ κέρατος, ϗ κέραος, ως. τῷ κέρατι, ϗ κέραϊ, ᾳ. τὸ κέρας, ὦ κέρας. ϗ τὰ λοιπὰ ὁμοίως τῷ κρέατι.

## ΚΕΦ. ς΄.

### Περὶ ἑτέρων Ὀνομάτων συναιρεμένων.

§. ξέ. Εἰσὶ ϗ ἕτερά τινα Ὀνόματα συναιρέμενα, τὰ μὲν, ἐν πάσαις ταῖς πτώσεσι, τὰ δὲ, ἐν ὀλίγαις τισίν. ὅθεν ϗ τὰ μὲν, ὁλοπαθῆ καλȣ̃νται, τὰ δὲ, ὀλιγοπαθῆ.

## ΟΛΟΠΑΘΗ ΟΝΟΜΑΤΑ.

### Τῆς Πρώτης τῶν Ἰσοσυλλάβων.

§. ξς΄. Ὁ Ἑρμέας, ῆς. τȣ̃ Ἑρμέȣ, ȣ̃. τῷ Ἑρμέᾳ, ῇ.